ἀλκήν τιν᾽ εὑρεῖν κἀπικούρησιν κακῶν·
ἐπεὶ δὲ τὴν Λάκαιναν Ἑρμιόνην γαμεῖ
τοὐμὸν παρώσας δεσπότης δοῦλον λέχος,
κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι·
λέγει γὰρ ὥς νιν φαρμάκοις κεκρυμμένοις
τίθημ᾽ ἄπαιδα καὶ πόσει μισουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ᾽ αὐτῆς θέλω
τόνδ᾽, ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ·
ἁγὼ τὸ πρῶτον οὐχ ἑκοῦσ᾽ ἐδεξάμην,
νῦν δ᾽ ἐκλέλοιπα· Ζεὺς τάδ᾽ εἰδείη μέγας,
ὡς οὐχ ἑκοῦσα τῷδ᾽ ἐκοινώθην λέχει.
ἀλλ᾽ οὔ σφε πείθω, βούλεται δέ με κτανεῖν,
πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
καὶ νῦν κατ᾽ οἴκους ἔστ᾽, ἀπὸ Σπάρτης μολὼν
ἐπ᾽ αὐτὸ τοῦτο· δειματουμένη δ᾽ ἐγὼ
δόμων πάροικον Θέτιδος εἰς ἀνάκτορον
θάσσω τόδ᾽ ἐλθοῦσ᾽, ἤν με κωλύσῃ θανεῖν·
Πηλεύς τε γάρ νιν ἔκγονοί τε Πηλέως
σέβουσιν, ἑρμήνευμα Νηρῇδος γάμων.
ὃς δ᾽ ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ
ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
ὁ γὰρ φυτεύσας αὐτὸν οὔτ᾽ ἐμοὶ πάρα
προσωφελῆσαι, παιδί τ᾽ οὐδέν ἐστ᾽, ἀπὼν
Δελφῶν κατ᾽ αἶαν, ἔνθα Λοξίᾳ δίκην
δίδωσι μανίας, ἥν ποτ᾽ ἐς Πυθὼ μολὼν
ᾔτησε Φοῖβον πατρός· οὗ ᾽κτίνει δίκην,
εἴ πως τὰ πρόσθε σφάλματ᾽ ἐξαιτούμενος
θεὸν παράσχοιτ᾽ ἐς τὸ λοιπὸν εὐμενῆ.

ΘΕΡΑΠΑΙΝΑ.

δέσποιν᾽, ἐγώ τοι τοὔνομ᾽ οὐ φεύγω τόδε
καλεῖν σ᾽, ἐπείπερ καὶ κατ᾽ οἶκον ἠξίουν
τὸν σόν, τὸ Τροίας ἡνίκ᾽ ᾠκοῦμεν πέδον·
εὔνους δὲ καὶ σοὶ ζῶντί τ᾽ ἦν τῷ σῷ πόσει,
καὶ νῦν φέρουσά σοι νέους ἥκω λόγους,
φόβῳ μέν, εἴ τις δεσποτῶν αἰσθήσεται,
οἴκτῳ δὲ τῷ σῷ· δεινὰ γὰρ βουλεύεται
Μενέλαος ἐς σὲ παῖς θ᾽, ἅ σοι φυλακτέα.